5. Ἆρ᾽ οὖν ἡ κακία τοιοῦτον ὥστε τῆς τύχης δεῖσθαι πρὸς κακοδαιμονίας ἀπεργασίαν; πόθεν; οὐ τραχὺ καὶ δυσχείμερον ἐπαίρει πέλαγος, οὐ ληστῶν ἐνοδίοις διαζώννυσιν ἐνέδραις ἐρήμους ὑπωρείας, οὐ νέφη χαλαζοβόλα πεδίοις περιρρήγνυσι καρποφόροις, οὐ Μέλητον οὐδ᾽ Ἄνυτον οὐδὲ Καλλίξενον ἐπάγει συκοφάντην, οὐκ ἀφαιρεῖται πλοῦτον, οὐκ ἀπείργει στρατηγίας, | ἵνα ποιήσῃ κακοδαίμονας· **500**
ἀλλὰ πτοεῖ πλουτοῦντας εὐροοῦντας κληρονομοῦντας, ἐν γῇ διὰ θαλάττης ἐνδέδυκε προσπέφυκεν, ἐκτήκουσα ταῖς ἐπιθυμίαις, διακαίουσα τοῖς θυμοῖς, συντρίβουσα ταῖς δεισιδαιμονίαις, διασύρουσα τοῖς ὀφθαλμοῖς ***

34.

# ΠΕΡΙ ΤΟΥ ΠΟΤΕΡΟΝ ΤΑ ΨΥΧΗΣ Η ΤΑ ΣΩΜΑΤΟΣ ΠΑΘΗ ΧΕΙΡΟΝΑ

(Plan. 19)

Ὅμηρος μὲν ἐπιβλέψας τὰ θνητὰ τῶν ζῴων γένη καὶ πρὸς ἄλληλα συγκρίνας κατὰ τοὺς βίους καὶ τὰς διαιτήσεις ἐξεφώνησεν ὡς οὐδέν ἐστιν